UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Cyrillo. 393.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀναφθῆναι σπουδάζοντα. ἀλλὰ τοῖς λόγοις τῷ λογικῷ προσκαρτερεῖν παραχώρησον. ἐκείνην δὲ τὴν ἀξίαν, ἢ μᾶλλον τιμωρίαν, ἄλλοις τισὶν ἀγύρταις προξένει, οἷς ἡ κοινὴ συνήρμοσται ἀλογία.

Δομεστίῳ ἰατρῷ. τϛα.

Τέχνην ἐπαγγέλλῃ φιλόσοφον, γνώμην δὲ μετέρχῃ κακόσχολον, μικρὰ θεραπεύων τραυμάτια, μεγάλα δὲ νοσῶν ἐξελκώματα. εἰ τοίνυν ἰατρὸς βούλει φανῆναι τῷ πράγματι, σαυτοῦ τὸν τρόπον θεράπευσον. ψυχρὸν γὰρ καὶ γελοῖον καὶ ἄχαρι, ἄλλους πειρᾶσθαι ἰᾶσθαι, ἑαυτὸν δὲ παρορᾶν ἀσθενοῦντα.

Δοσιθέῳ ἀρχιμανδρίτῃ. τϛβ.

Αἱ τῶν βρωμάτων διακονίαι πολλοῖς ὑπῆρξαν αἴτιαι γαστριμαργίας. οὐ πάντες γὰρ νηφόντως προσέρχονται τῷ ἀγῶνι. τὸν ἀδελφὸν οὖν Ἀμβρόσιον ἀπόστησον τῆς τῶν ξένων ὑπηρεσίας, μὴ ξενώσῃς αὐτὸν σαυτοῦ δι' ἐκείνης.

Κυρίλλῳ. τϛγ.

Ἡ τοῦ πρώτου θαύματος ποίησις, ἁπλῆ τῷ κυρίῳ οὐ γέγονεν. εἰ γὰρ καὶ τῷ γάμῳ τὴν χρείαν παρέχετο, ἀλλὰ (χρει.) καὶ τῷ νόμῳ τὸ λεῖπον ἐπλήρωσεν. ἐπειδὴ γὰρ ἐκεῖνος ἐν ὕδασι μόνον ἐβάπτιζεν, αὐτὸς τῷ οἰκείῳ αἵματι ἐτελείωσε, κιρνῶν ἐν ἑαυτῷ τὰ ἀμφότερα, καὶ ἑνῶν τὸν νόμον τῇ χάριτι.

Ἐκδικίῳ. τϛδ.

Οἱ βόες μὴ κημούμενοι προθυμότερον τὸν ἄμητον κατεργάζονται· τῶν δὲ πόνων μετέχειν κωλυόμενοι, ἀργοῦσι καὶ ἀποτρέπονται. καὶ διδάσκαλοι ἀπειθείᾳ μὴ ὑβριζόμενοι, προθυ-

literarum studiis assiduam operam dare permitte. Illam autem dignitatem, imò pœnam & cruciatum, aliis quibusdam circulatoribus, quibus communis væcordia & literarum inscitia connexa est, concilia.

*Domestio Medico. 391.*

Sapientem artem profiteris: animum autem malè feriatum geris: vt qui exigua quidem vulnera cures, ipse autem ingentibus & grauibus vlceribus labores. Quocirca si reipsa medicum te præbere cupis, moribus tuis medere. Frigidum enim & ridiculum, atque illepidum est, aliis medicinam afferre conari, seipsum autem ægrotantem negligere.

*Dositheo Cœnobiarchæ. 392.*

Ciborum ministeria gulæ atque ingluuiei occasionem multis accersiuerũt. Neque enim omnes sobrio ac vigilanti animo ad huiusmodi certamen accedunt. Quamobrem ab hospitibus inseruiendi munere Ambrosium fratrem remoue: ne per illud eum abs te remoueas.

*Cyrillo. 393.*

Primum illud miraculum quod à Domino editum est, non simpliciter ac sine causa extitit. Quamuis enim nuptiis quoque, id quod opus erat, præbuit: tamen id etiã, quod Legi deerat, suppleuit. Quoniã nanque illa in aquis dũtaxat baptizabat, ipse suo cruore initiationem sacram perfecit, vtrunque in seipso miscens, ac Legẽ cum gratia copulans.

*Ecdicio. 394.*

Boues ij, quibus os camo non coërcetur, alacriùs messem conficiunt: qui autem laboribus suis frui prohibentur, segnitie torpent, ac laborem auersantur. Eodem modo magistri, cùm per inobedientiam